**Μιχαήλ Η΄ Παλαιολόγος, Πρόσταγμα (1272) - έκδ. A. ✾eisenberg**

Ἵνα ἐπὶ θρόνου κάθῃ ἐν ταῖς γινομέναις βασιλικαῖς εὐφημίαις, καὶ συνὼν τῇ βασιλείᾳ μου καὶ ἀπὼν αὐτῆς, ἀετῷ κοκκίνῳ ἐνσεσημειωμένου ἔν τε χρηματισμοῖς πρέσβεων ἔν τε καιρῷ ἀρίστου, ὅτε καὶ ἐπὶ κλίνης εἰ δεήσει καθίσεις, συνεσθίων τῇ βασιλείᾳ μου. * * *

*Ὅτε εἰς ἐκστρατείαν ἀποδημεῖς, ὀφείλεις
οὕτω διευθετεῖν τὰ τῆς ἐκστρατείας, ὅπως ἂν ἡ
βασιλεία μου τάξῃ καὶ διορίσηται ἐπί τε τοῖς ταχ-
θησομένοις τότε συμβούλοις σου ἐπί τε πᾶσιν ἄλλοις
πράγμασιν, ἅπερ ὁ τῆς ἐκστρατείας ἐκείνης ἀπαιτήσει*
XII *καιρός: Στρατιώτης δὲ ἐὰν ἀναφανῇ χρήσιμος
ἐν τῇ στρατείᾳ αὐτοῦ, εὐεργετηθήσεται παρὰ σοῦ ἢ καὶ
προσθήκην δέξεται ἐπὶ τῇ οἰκονομίᾳ αὐτοῦ, μέχρις
εἰκοσιτεσσάρων ὑπερπύρων ἢ καὶ τριάκοντα ἕξ·*

XIII *τινά: Ἐὰν δὲ καὶ στρατιώτης εὑρεθῇ μὴ καλῶς χρη-
σάμενος τῇ στρατείᾳ αὐτοῦ, ἵνα παιδεύῃς αὐτὸν προ-
σηκόντως καὶ ἀντεισάγῃς αὐτοῦ στρατιώτην ἕτερον,*
XIV *ἄξιον εἰς τὴν τοῦ σφαλέντος οἰκονομίαν: Εἰ
χώραν τινὰ γνωρίσεις κατὰ τοῦ ἐνεργοῦντος γογγυσμὸν
ποιουμένην καὶ παρ' αὐτοῦ λυπουμένην ἐφ' οἷς οὐ δεῖ,
καὶ τοῦτον ἐκσπήσεις τῆς ἐνεργείας καὶ ἀντ' αὐτοῦ
στήσεις ἕτερον· οὐ δεῖ γὰρ πόλεως ἢ χώρας ὅλης δέ-
ησιν παρορᾶν, ἐφ' οἷς ἔστι δυνατὸν παρηγορίαν
τοῖς ἐν ταύταις εὑρεῖν μετατιθεμένου τοῦ ἐνεργοῦντος,
ἑνὸς ὄντος τούτου καὶ πρὸς πόλιν ὅλην ἢ χώραν λογι-*
XV *ζομένου οὐδέν: Ἐὰν δὲ καὶ χρήματα οὗτος παρενοσφί-
σατο, ἀπαιτηθήσεται καὶ ταῦτα ἐξ αὐτοῦ δι' ἐρεύνης*
XVI *καὶ ἀληθοῦς ἀποδείξεως:*

*+ Εἶχε καὶ δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρὸς τὸ μηνὶ Νοεβρίῳ ἰνδικτιῶνος πρώτης.* ++